www.tezaurliturgic.ro

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

εἰς τόν Ὅσιον Πατέρα ἡμῶν Βαραδᾶτον.

Ποιήμα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου.

Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ Κύριε εἰσάκουσον, μεθ' ὃ τὸ Θεὸς Κύριος ὡς συνήθως, καὶ τὸ ἑξῆς.

**Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Ὡς θεοφόρος τοῦ Σωτῆρος θεράπων, μὴ διαλίπῃς ἐκτενῶς ἱκετεύων, ὑπὲρ ἡμῶν δεόμεθα μακάριε, πάσης ἡμᾶς θλίψεως, καὶ ἀνάγκης καὶ βλάβης, Βαραδᾶτε Ὅσιε, καὶ παντοίων κινδύνων, ρύεσθαι Πάτερ τοὺς πανευλαβῶς, τῇ ἱερᾷ σου, πρεσβείᾳ προστρέχοντας.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Οὐ σιωπήσομεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο, ἐκ τοσούτων κινδύνων, τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους. Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

**Ὁ Ν΄. Καὶ ὁ κανὼν οὗ ἡ ἀκροστιχίς.**
**«Ἡ τοῦ Βαραδάτου σκέπε με χάρις. Γερασίμου».**
**Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.**

Ἡλίου ἀκτῖσι τοῦ νοητοῦ, λαμπόμενος Πάτερ, τῶν παθῶν μου τὸν σκοτασμόν, λῦσον Βαραδᾶτε θεοφόρε, ταῖς φωτοφόροις πρεσβείαις σου δέομαι.

www.tezaurliturgic.ro



Βιώσας ὡς Ἄγγελος ἐπὶ γῆς, Ἀγγέλων τῆς δόξης ἠξιώθης ἐν οὐρανοῖς, μεθ' ὧν ἐκδυσώπει θεοφόρε, ἁμαρτιῶν ἡμῖν δοῦναι συγχώρησιν.

Ἀμέτροις βαλλόμενοι πειρασμοῖς, πρὸς σὲ θεοφόρε, καταφεύγομεν ἐκ ψυχῆς, ἵνα τῇ θερμῇ σου προστασίᾳ, τῆς ἐπελθούσης ρυσθείημεν θλίψεως.

**Θεοτοκίον.**

Ροαῖς τῶν ἀμέτρων σου οἰκτιρμῶν, κάθαρον Παρθένε, τῆς ψυχῆς μου τὸν μολυσμόν, καὶ τῆς πονηρᾶς με συνηθείας, λύτρωσαι Κόρη καὶ σῶσόν με δέομαι.

**Ὠδὴ γ΄. Οὐρανίας ἁψίδος.**

Ἀπὸ πάσης ἀνάγκης, καὶ πειρασμῶν Ὅσιε, καὶ ἐπηρειῶν ψυχοφθόρων, τοῦ πολεμήτορος, ἡμᾶς ἀπάλλαξον, τοὺς ἀδιστάκτῳ καρδίᾳ, τῷ ναῷ σου σπεύδοντας, καὶ σὲ γεραίροντας.

Δεδεγμένος τὴν χάριν, παρὰ Θεοῦ Ὅσιε, λύειν συνοχὴν ἐπωδύνων, καὶ πάσης θλίψεως, παῦσον δεόμεθα, τὴν καθ' ἡμῶν πικρὰν ζάλην, Βαραδᾶτε Ἅγιε, τῶν περιστάσεων.

Ἀνωτέρους ἐκ πάσης, ἐπιφορᾶς φύλαττε, Πάτερ Βαραδᾶτε τοὺς πίστει, σὲ μακαρίζοντας καὶ δίδου ἅπασι, ταῖς πρὸς Θεόν σου πρεσβείαις, φωτισμὸν καὶ ἴασιν , καὶ θεῖον ἔλεος.

**Θεοτοκίον.**

Τὸν Θεὸν καὶ Σωτῆρα, σωματικῶς τέξασα, τῶν σωματικῶν παθημάτων, Παρθένε ρῦσαί με, καὶ τὴν καρδίαν μου, ἐκ λογισμῶν ἀκαθάρτων, θᾶττον ἀποκάθαρον, τῇ σῇ χρηστότητι.

Διάσωσον ἡμᾶς ἐκ πάσης ἀνάγκης ταῖς σαῖς πρεσβείαις, Βαραδᾶτε τοὺς εὐλαβῶς προσιόντας σοι, ὡς ἀντιλήπτωρ καὶ θεῖος ἡμῶν προστάτης.

Ἐπίβλεψον ἐν εὐμενείᾳ....

**Αἴτησις καὶ τὸ Κάθισμα.**

www.tezaurliturgic.ro

**Ἦχος β΄. Πρεσβεία θερμή.**

Πρεσβεύων Χριστῷ, τῷ μόνῳ πανοικτίρμονι, μὴ παύσῃ ἀεί, ὑπὲρ τῶν εὐφημούντων σε, Βαραδᾶτε Ἅγιε, λυτρωθῆναι κινδύνων καὶ θλίψεων, καὶ τῶν πταισμάτων διδόναι ἡμῖν, οἰκείᾳ χρηστότητι συγχώρησιν.

**Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.**

Οἱ προστρέχοντες Ἅγιε, τῇ σῇ προστασίᾳ πληροῦνται χάριτος, Βαραδᾶτε χαριστήριον, ὕμνον εὐχαρίστως σοι προσάγοντες.

Ὑπαχθεὶς τῷ ἀλάστορι, πάσης ἀφροσύνης τὸν νοῦν πεπλήρωμαι· ἀλλά σύ με ἀπολύτρωσαι, θεοφόρε τούτου τῆς κακώσεως.

Σωτηρίαν ἐξαίτησαι, τὴν κατὰ ψυχὴν καὶ σῶμα τοῖς σπεύδουσι, Βαραδᾶτε παναοίδιμε, τῇ πρὸς τὸν Σωτῆρα ἱκεσίᾳ σου.

**Θεοτοκίον.**

Κυριώνυμε Δέσποινα, τὸν κυριευθέντα ὑπὸ τοῦ ὄφεως, ἀπολύτρωσαι καὶ δίδου μοι, μετανοίας φῶς καθικετεύω σε.

**Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.**

Ἔχων πρὸς Χριστόν, παρρησίαν Πάτερ Ὅσιε, καθικέτευε ἀεὶ ὑπὲρ ἡμῶν, τῶν ἐν πίστει παρεστώτων τῇ Εἰκόνι σου.

Πάσης προσβολῆς, καὶ μανίας τοῦ ἀλάστορος, καὶ δεινῶν δυσχερειῶν ῥῦσαι ἡμᾶς, Βαραδᾶτε τῇ ταχείᾳ ἀντιλήψει σου.

Ἔπιδε ἡμῖν, οὐρανόθεν Πάτερ Ὅσιε, προσδεχόμενος τὴν δέησιν ἡμῶν, καὶ παράσχου ἡμῖν πᾶσι τὰ αἰτήματα.

**Θεοτοκίον.**

Μῆτερ τοῦ Θεοῦ, Θεοτόκε Ἀειπάρθενε, τὴν ῥυπῶσάν μου ἐκκάθαρον ψυχήν, καὶ φωτὶ τῆς μετανοίας με καταύγασον.

www.tezaurliturgic.ro



**Ὠδὴ στ΄. Τὴν δέησιν.**

Ἐκ πάσης, ἐπιφορᾶς καὶ ὀδύνης, ἀνωτέρους ἡμᾶς φύλαττε Πάτερ, καὶ χαλεπῆς τρικυμίας τοῦ βίου, τοὺς τῷ ἁγίῳ ναῷ σου προστρέχοντας, ὡς ἐν λιμένι γαληνῷ, Βαραδᾶτε Ὁσίων ὡράϊσμα.

Χαρίτων, ἀξιωθεὶς οὐρανίων, ἐπιγείων ἀναγκῶν καὶ κινδύνων, καὶ νοσημάτων καὶ πόνων παντοίων, ρύου ἡμᾶς Βαραδᾶτε μακάριε, τοὺς προσιόντας εὐλαβῶς, τῇ θερμῇ σου πρεσβείᾳ καὶ χάριτι.

Ἀφ' ὕψους, βλέψον ἡμῖν θεοφόρε, τοῖς τῇ θείᾳ καὶ σεπτῇ σου Εἰκόνι, πανευλαβῶς Βαραδᾶτε ἑστῶσι, καὶ τὴν θερμήν σου αἰτοῦσι βοήθειαν, καὶ πλήρου τούτων συμπαθῶς, τὰ αἰτήματα Πάτερ δεόμεθα.

**Θεοτοκίον.**

Ρημάτων, τῶν ταπεινῶν τῆς ψυχῆς μου, Θεοτόκε τὰς φωνὰς δεχομένη, ἃς ἐν πολλῇ κατανύξει προσάγω, τῆς χαλεπῆς δυναστείας με λύτρωσαι, τοῦ παναλάστορος ἐχθροῦ, καὶ πικρᾶς συνηθείας Πανάχραντε.

Διάσωσον ἡμᾶς ἐκ πάσης ἀνάγκης ταῖς σαῖς πρεσβείαις, Βαραδᾶτε τοὺς εὐλαβῶς προσιόντάς σοι, ὡς ἀντιλήπτωρ καὶ θεῖος ἡμῶν προστάτης.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον.....

**Αἴτησις καὶ τὸ Κοντάκιον.**
**Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.**

Τῇ προστασίᾳ σου Πάτερ προστρέχοντες, δυσπραγιῶν πολυτρόπων λυτρούμεθα, καὶ πάσης πληρούμεθα χάριτος, καὶ ἀθυμίας τὸ ἄχθος ἐκκρούομεν· διό Βαραδᾶτε ὑμνοῦμέν σε.

Προκείμενον.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Στιχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον...

www.tezaurliturgic.ro


Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον.

(Κεφ.ια΄ 27-30)

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱόν, εἰμὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰμὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ᾽ ὑμᾶς, καὶ μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾷός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

**Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου....**

**Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου....**

**Προσόμοιον.**

**Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.**

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

Βίον ἐνθεώτατον, ἐν ἐγκρατείᾳ ἁπάσῃ, Βαραδᾶτε Ὅσιε, καὶ πόνοις ἀσκήσεως πεπολίτευσαι, καὶ ζωῆς κρείττονος, ἤδη ἠξιώθης· διὰ τοῦτο σου δεόμεθα. Ἡμῶν ἑκάστοτε, δέχου τὰ αἰτήματα Ἅγιε, καὶ πρέσβευε πρὸς Κύριον, ῥύεσθαι ἡμᾶς πάσης θλίψεως, καὶ ἐν ὁμονοίᾳ, καὶ πάσῃ εὐπραγίᾳ καὶ χαρᾷ, ἡμᾶς ἀνύειν ἐνίσχυσον, τὴν ζωὴν δεόμεθα.

Ὁ Ἱερεύς. Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

**Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Ἰατρεύων τὰς νόσους, τῶν ψυχῶν καὶ σωμάτων μὴ παύσῃ Ἅγιε, ἡμῶν τῶν προσιόντων, πιστῶς σοι Βαραδᾶτε, καὶ βοώντων ἑκάστοτε. Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Συνοχῆς ψυχοφθόρου, καὶ παθῶν ἀκαθάρτων ἡμᾶς ἀπάλλαξον, καὶ πάσης δυσχερείας, θεόφρον Βαραδᾶτε, τοὺς ἐν πίστει κραυγάζοντας. Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

www.tezaurliturgic.ro



Γαληνότατον ὅρμον, τὸν ναόν σου πλουτοῦντες τούτῳ προστρέχομεν, καὶ πάσης τρικυμίας, καὶ ζάλης τῆς ἐν βίῳ, ἐκλυτρούμεθα Ἅγιε, καὶ εὐχαρίστῳ φωνῇ, ὑμνοῦμέν σου τὴν χάριν.

**Θεοτοκίον.**

Ἐξ ἁγνῶν σου αἱμάτων, ὁ Ὑπέρθεος Λόγος σάρκα ὡς ἔλαβε, διπλοῦς ὤφθη τῷ κόσμῳ, μιᾷ ἐν ὑποστάσει, διασώζων τοὺς ψάλλοντας· χαῖρε Παρθένε Ἁγνή, τοῦ κόσμου σωτηρία.

**Ὠδὴ η΄. Τὸν Βασιλέα.**

Ρύου ἀπαύστως, ἐπερχομένων κινδύνων, καὶ ἀπάλλατε ἡμᾶς δεινῶν σκανδάλων, Πάτερ Βαραδᾶτε, τοὺς σὲ ἀνευφημοῦντας.

Ἄνωθεν δίδου, τὴν εὐλογίαν σου πάτερ, τοῖς τὴν μνήμην σου τὴν θείαν ἐκτελοῦσι, καὶ ὑπερυψοῦσι, Χριστὸν εἰς τοὺς αἰῶνας.

Σκέδασον πᾶσαν, ἐπιφορὰν τοῦ Βελίαρ, καὶ συγχώρησιν πταισμάτων ἡμῖν αἴτει, Πάτερ Βαραδᾶτε, τοῖς σὲ ὑμνολογοῦσι.

**Θεοτοκίον.**

Ἴασαι Κόρη, τὴν ἀσθενοῦσαν ψυχήν μου, καὶ ἀπόκρουσον τὴν κατ᾽ ἐμοῦ μανίαν, τοῦ ἀνθρωποκτόνου, καὶ σῶσόν με Παρθένε.

**Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.**

Μὴ παύσῃ θεοφόρε, ἡμῶν προστατεύειν, τῶν ἐκτελούντων τὴν πάνσεπτον μνήμην σου, ὦ ἱερὲ Βαραδᾶτε καὶ εὐφημούντων σε.

Ὁ Θεῖος Βαραδᾶτος, ἡμῶν ὁ προστάτης, πλήρου ἡμῶν τὰ αἰτήματα πάντοτε, καὶ ἐν εἰρήνῃ βαθείᾳ ἡμᾶς συντήρησον.

www.tezaurliturgic.ro


Ὑπέρτερον τὸν νοῦν μου, δεῖξον Βαραδᾶτε, χαμαιπετοῦς ἐπινοίας τοῦ ὄφεως, καὶ τοῦ ἐν σοὶ θείου φέγγους τοῦτον ἀξίωσον.

**Θεοτοκίον.**

Ὑψίστου χαῖρε θρόνε, Κεχαριτωμένη· χαῖρε τοῦ κόσμου ταχεία βοήθεια, καὶ χαρμονὴ τῆς ψυχῆς μου καὶ ἀγαλλίαμα.

Τό Ἄξιόν ἐστιν, καί τά Μεγαλυνάρια.

Χαίρων ἠκολούθησας τῷ Χριστῷ, Πάτερ Βαραδᾶτε, δι᾽ ἀσκήσεως ἱερᾶς, καὶ τὸν νοῦν καθάρας, τῆς τῶν παθῶν ἀχλύος, ἐπλήσθης θεοφόρε, θείας ἐλλάμψεως.

Πάσῃ ἐγκρατείᾳ καὶ προσευχῇ, καὶ νηστείᾳ Πάτερ, ἀνεπτέρωσας σεαυτόν, πρὸς τελειοτάτην, ἀγάπην τοῦ Σωτῆρος, καὶ θείας Βαραδᾶτε, χάριτος ἔτυχες.

Πᾶσαν τὴν ἀπάτην τῶν δυσμενῶν, Πάτερ Βαραδᾶτε, τῇ ἀσκήσει σου τῇ στερρᾷ, εἰς τέλος καθεῖλες· ἐξ ὧν καὶ ἡμᾶς ῥῦσαι, τῆς χαλεπῆς μανίας, τῇ ἀντιλήψει σου.

Χαίροις εὐσεβούντων ὁ βοηθός, Πάτερ Βαραδᾶτε, καὶ προστάτης καὶ ἀρωγός· χαίροις ὁ πταισμάτων, αἰτούμενος τὴν λύσιν, τοῖς πίστει προσιοῦσι, τῇ προστασίᾳ σου.

Τοὺς μετ᾽ εὐλαβείας τῷ σῷ ναῷ, Πάτερ προσιόντας, πάσης λύτρωσαι συμφορᾶς, καὶ ποικίλων νόσων, συντήρει ἀνωτέρους, παμμάκαρ Βαραδᾶτε, ὡς συμπαθέστατος.

Πίστει τῇ Εἰκόνι σου τῇ σεπτῇ, Πάτερ παρεστῶτες, ἐκβοῶμέν σοι ἐκ ψυχῆς· δίδου Βαραδᾶτε, βοήθειαν ταχεῖαν, καὶ θείαν εὐλογίαν, ἡμῖν ἑκάστοτε.

Πᾶσαι τῶν Ἀγγέλων ....

**Τό τρισάγιον, τά συνήθη τροπάρια, Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ᾽ ἥν ψάλλομεν τὸ ἑξῆς:**

www.tezaurliturgic.ro



**Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.**

Ἔχων παρρησίαν πρὸς Χριστόν, πάτερ Βαραδᾶτε θεόφρον, οἷα θεράπων αὐτοῦ, πρέσβευε δεόμεθα πάσης ὀργῆς καὶ φθορᾶς, καὶ δεινῶν περιστάσεων, καὶ πάσης ἀνάγκης, ρύεσθαι τοὺς σπεύδοντας, τῇ ἀντιλήψει σου, ἤρεμον δὲ βίον ἀνύειν, ἐν ταῖς ἐντολαῖς τοῦ Κυρίου, τοὺς εἰλικρινῶς σε μακαρίζοντας.

Δέσποινα πρόσδεξαι....
Τὴν πᾶσαν ἐλπίδα μου....

Δίστιχον.

Βαραδάτῳ δέησιν τήνδε προσάγει
Γεράσιμος τούτου ἐξαιτῶν τὴν χάριν.

